Geographi Graeci Minores
ὑπό Carolus Mulleros
ἐκδ. Παρισίων 1855
Τ. Α΄
Σελ. 54-

Ἐκ τοῦ Σκύλακος

## ΠΕΡΙ ΘΡΑΚΗΣ

Διήκει δέ ἡ Θράκη ἀπό Στρυμόνος ποταμοῦ μέχρι Ἴστρου ποταμοῦ τοῦ ἐν τῷ Εὐξείνῳ Πόντῳ. Εἰσί δ' ἐν Θράκῃ πόλεις ἑλληνίδες αἵδε· Ἀμφίπολις, Φάγρης, Γαληψός, Οἰσύμη καί ἄλλα ἐμπόρια Θασίων. Κατά ταῦτά ἐστι Θάσος νῆσος καί πόλεις καί λιμένες δύο· τούτων ὁ εἷς κλειστός. Ἐπάνειμι δέ πάλιν ὅθεν ἐξετραπόμην. Νεάπολις, κατά ταύτην Δάτον πόλις ἑλληνίς, ἥν ᾤκισε Καλλίστρατος Ἀθηναῖος, καί ποταμός Νέστος. Ἄβδηρα πόλις, Κούδητος ποταμός καί πόλεις Δίκαια καί Μαρώνεια, Κατά ταῦτα Σαμοθράκη νῆσος καί λιμήν. Κατά ταύτην ἐν τῇ ἠπείρῳ ἐμπόρια Δρῦς, Ζώνη, ποταμός Ἕβρος καί ἐπ' αὐτῷ τεῖχος Δουρίσκος. Αἶνος πόλις καί λιμήν, τείχη Αἰνέων ἐν τῇ Θράκῃ, Μέλας κόλπος, Μέλας ποταμός, Δέρις ἐμπόριον, Κῶβρυς ἐμπόριον Καρδιανῶν καί ἄλλο Κύπασις. Κατά τόν Μέλανα κόλπον Ἴμβρος ἐστί νῆσος καί πόλις, καί Λῆμνος νῆσος καί λιμήν. Ἐπάνειμι πάλιν ἐπί τήν ἤπειρον, ὅθεν ἐξετραπόμην. Μετά δέ τόν Μέλανα κόλπον ἐστίν ἡ Θρακία Χερρόνησος καί πόλεις ἐν αὐτῇ αἵδε· Καρδία, Ἴδη, Παιών, Ἀλωπεκόννησος, Ἄραπλος, Ἐλαιοῦς, Μάδυτος, Σηστός ἐπί τοῦ στόματος τῆς Προποντίδος, ἐστί σταδίων στ! Ἐντός δέ Αἰγός ποταμοῦ Κρῆσσα, Κριθώτη, Πακτύη. Μέχρις ἐνταῦθα ἡ Θρακία χερρόνησος. Ἐκ Πακτύης δέ εἰς Καρδίαν διά τοῦ αὐχένος πεζῇ στάδια μ΄, ἐκ θαλάττης εἰς θάλατταν καί πόλις ἐν τῷ μέσῳ ᾗ ὄνομα Ἀγορά. Χερρονήσου μῆκος ἐκ Καρδίας εἰς Ἐλαιοῦντα στάδια υ! Μετά δέ τήν χερρόνησόν ἐστι Θράκια τείχη τάδε· πρῶτον Λευκή ἀκτή, Τειρίστασις, Ἡράκλεια, Γάνος, Γανίαι, Νέον τεῖχος, Πέρινθος πόλις καί λιμήν, Δαμινόν τεῖχος, Σηλυμβρία πόλις καί λιμήν. Ἀπό τούτου ἐπί τοῦ στόματος τοῦ Πόντου εἰσί στάδια φ! Καλεῖται δέ ἀνάπλους ὁ τόπος ἀνά Βόσπορον μέχρι ἄν ἔλθῃς ἐφ' Ἱερόν. Ἀφ' Ἱεροῦ δέ τοῦ στόματός ἐστι τοῦ Πόντου εὖρος στάδια ζ! Εἰσί δέ ἐν τῷ Πόντῳ πόλεις Ἑλληνίδες αἵδε ἐν Θράκῃ. Ἀπολλωνία, Μεσημβρία, Ὀδησσό-



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

(περί Θράκης.)

πολις, Κάλλατις καί ποταμός Ἴστρος. Παράπλους δέ τῆς Θράκης ἀπό Στρυμόνος ποταμοῦ μέχρι Σηστοῦ δύο ἡμερῶν καί νυκτῶν δύο, ἀπό δέ Σηστοῦ μέχρι στόματος τοῦ Πόντου δύο ἡμερῶν καί νυκτῶν δύο, ἀπό δέ τοῦ στόματος μέχρι τοῦ Ἴστρου ποταμοῦ ἡμερῶν τριῶν καί νυκτῶν τριῶν. Ὁ σύμπας περίπλους ἀπό Θράκης καί ποταμοῦ Στρυμόνος μέχρι τοῦ Ἴστρου ποταμοῦ ὀκτώ ἡμερῶν καί ὀκτώ νυκτῶν.-

Μετά δέ τήν Θράκην εἰσί Σκύθαι ἔθνος καί πόλεις ἐν αὐτοῖς Ἑλληνίδες αἵδε.-

-----

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Σημ. Σαραντη: Ὁ Σκύλαξ ἔκαμε τόν περίπλουν τῆς Μεσογείου θαλάσσης τῆς Προποντίδος καί τοῦ Πόντου, ἀρχίσας ἀπό τά στενά τῆς Ἱσπανίας καί καταλήξας ἔξω εἰς τόν Ἀτλαντικόν ὠκεανόν εἰς τήν χώραν τῶν μεγάλων Αἰθιόπων.- Περιγραφή σύντομος καί σαφής.

Ὁ Σκύλαξ τήν Μακεδονίαν τήν καθορίζει ἀπό τοῦ Πηνειοῦ μέχρι τῶν ἐκβολῶν τοῦ Στρυμόνος. Τήν Θράκην ἀπό τοῦ Στρυμόνος μέχρι τοῦ Ἴστρου ποταμοῦ.